μοχθήματος μὲν ἐκτὸς ἱδρῶτος τ᾽ ἄτερ
παιδεύσεώς τε καὶ τριβῆς τῆς ξὺν λόγῳ,
ἢ ῥᾳδιουργίᾳ δὲ, μᾶλλον δὲ θράσει
τῷ γ᾽ ἐκ τριβῆς πως κἀνελίξεως βίβλων,
ἢ καίγε πειθοῖ ξὺν προλήψει κἀπάτῃ
τῇ γ᾽ ἐξ ὑπουργίας τε θητείας θ᾽ ὅσην
ἠσκημένοις οἵδ᾽ ἤνυσαν παρ᾽ ἀνδράσι,
τοιοῖςδε κἄλλοις ψευδεπιπλάστοις τρόποις
τῆς κλήσεως τῆσδ᾽ εἰσιν ἠξιωμένοι·
τέχνης ἄμοιροι τῆσδ᾽ ἄπειροί τ᾽ εἰσάπαν,
πάσης θεωρίας τε, πράξεώς θ᾽ ἅμα,
μαθήσεώς τε πάμπαν ἠπορημένοι·
νόσημα καὶ γὰρ, αἰτία, ξύμπτωμά τε
κἄκεσμα τί᾽σι, χρῆσις οἷα τοῦδ᾽ ἔτι
τοῦδ᾽ ἀγνοοῦσιν, ὥστε μὴ σάφ᾽ εἰδέναι
τὰς τῶνδε κλήσεις, μήτι δήγε τοὺς ὅρους·
καὶ δὴ νόσημ᾽ ἴσασιν ἰᾶσθ᾽ ὡς τόδε
μακρῷ γε χεῖρον ἢ τὸ πρὶν καθιστάναι.

E. Οὗτοι μὲν οὖν κάκιστα τὴν παιωνίαν
τέχνην διαστρέφουσιν, αἰσχύνουσί τε
αἰσχρῶς, πέλοντες λυμεῶνες τῆσδ᾽ ἄκροι·
τὴν σφῶν ὑποκρύπτειν γὰρ οἵδ᾽ ἀπειρίαν
εὖ μηχανῶνται ταῖςδε ῥᾳδιουργίαις,
πανουργίᾳ, δόλῳ τε δεινῷ, κἀπάτῃ,
θωπευτικοῖς τε στωμύλοις τε μὲν λόγοις,
κακοῤῥάφοις δὲ καὶ δολοπλόκοις τρόποις,

ἀλλ᾽